Hesych.: ἀπαιώνιστον· δύσφημον. Εὐριπίδης Ἀλκμαίωνι διὰ Κορίνθου.

---

79

γυναῖκα καὶ ὠφελίαν
καὶ νόσον ἀνδρὶ φέρειν
μεγίσταν ἐδίδαξα τῷμῷ λόγῳ.

Stob. Flor. 69, 7: Εὐριπίδου Ἀλκμέωνος. 'γυναῖκα — λόγῳ'. vs. 1 Zon. Lex. p. 1897: ὠφέλεια· παρὰ δὲ τῷ Εὐριπίδῃ εὕρηται καὶ ὠφελία. vs. 3 μεγίστων libri, μεγίσταν Grotius. ἐδίδαξα] ἔδειξα malim.

80

βροτοῖς τὰ μείζω τῶν μέσων τίκτει νόσους·
θεῶν δὲ θνητοὺς κόσμον οὐ πρέπει φέρειν.

Stob. Flor. 22, 8: τοῦ αὐτοῦ (Εὐρ.) ἀλ^κ (sic codex Vind.). 'βροτοῖς — φέρειν'.

81

φεῦ φεῦ, τὰ μεγάλα μεγάλα καὶ πάσχει κακά.

Stob. Flor. 49, 6: Εὐριπίδου Ἀλκμέωνος. 'φεῦ φεῦ — κακά'.

82

ταπεινὰ γὰρ χρὴ τοὺς κακῶς πεπραγότας
λέγειν, ἐς ὄγκον δ' οὐκ ἄνω βλέπειν τύχης.

Stob. Flor. 22, 24: Εὐριπίδου Ἀλκμαίωνι (ἀλ^κ Vind.). 'ταπεινὰ — τύχης'.

83

τὰ τῶν τεκόντων ὡς μετέρχεται θεὸς
μιάσματα

Stob. Flor. 79, 15: Εὐριπίδου Ἀλκμέωνος. 'τὰ — μιάσματα'.

84

εἰ τοῦ τεκόντος οὐδὲν ἐντρέπει πατρός